# 10 APRILIE
# GHEORGHIOS APOSTOLAKIS

# PARACLISUL SF.MUCENIC DEMOS DE LA SMIRNA



## PARACLISIERUL PE APRILIE-GR


Ο ΑΓΙΟΣ
ΔΗΜΟΣ
ΝΕΟΜΑΡΤΥΣ
Ο ΑΛΙΕΥΣ

# Παρακλητικός Κανών Νεομάρτυρος ΔΗΜΟΥ του ἐν Σμύρνῃ

## Ποίημα Γεώργιος Ἀποστολάκης

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Τόν Νεομάρτυρα Σμυρναίων τό κλέος, ὡς ἀθλοφόρον καί Χριστοῦ στεφανίτην, ἐκ βάθους μακαρίσωμεν συντόνῳ τῇ φωνῇ, Δῆμον τόν μακάριον, ἀθλητήν τοῦ Σωτῆρος, τόν ἀποξηράναντα, τόν βυθόν ἀθεΐας, μαρτυρικῶν αἱμάτων ῥαντισμῷ, καί τῶν θαυμάτων λαβόντα τό χάρισμα.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· *ΔΗΜΟΝ ΤΟΝ ΟΜΩΜΥΜΟΝ ΣΟΙ ΦΥΛΑΤΤΕ, ΜΑΡΤΥΣ. Γ*(ΕΩΡΓΙΟΥ).

## Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Διάσωσον Μάρτυς καί ἀθλητά, τούς πίστει τιμῶντας, σοῦ τήν μνήμην τήν ἱεράν, παντοίων παθῶν τε καί κινδύνων, ὡς παῤῥησίαν κατέχων πρός Κύριον.

Ἠσχύνθη ἀπίστων συνδυασμός, τῇ σῇ μαρτυρίᾳ, καί στεῤῥότητι τῆς ψυχῆς, καί πρότυπον πᾶσι νῦν κατέστης, πρός σταθερότητα Δῆμε τῆς πίστεως.

Μαρτύρων τῶν πάλαι ἰσοφαής, νομίμως ἀθλήσας, κατεδείχθης ἀποτμηθείς, δημίου τῷ ξίφει κεφαλήν σου, προσενεχθεῖσαν Κυρίῳ ὡς δώρημα.

Θεοτοκίον.

Ὁμώνυμον πάντα τῷ ἀθλητῇ, Υἱοῦ Σου τε δοῦλον, σῷσον Δέσποινα Μαριάμ, ὅτι τῇ ἀσπόρῳ Σου συλλήψει, Θεογενήτρια γέγονας Ἄχραντε.

## Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Νικηφόρως ἀθλήσας, μαρτυρικόν εἴληφας, στέφος ἐν Σμυρναίων τῇ πόλει, Δῆμε μακάριε· διό καί πρέσβευε νῦν, ὑπέρ ἡμῶν τῷ Κυρίῳ, πίστιν ἀταλάντευτον, ὅπως φυλάττωμεν.

Τῇ δυνάμει Ἁγίου, Ζωοποιοῦ Πνεύματος, ἤνοιξας τό στόμα σου Μάρτυς, Δῆμε τρισμέγιστε, καί παῤῥησίᾳ πολλῇ, Χριστιανῶν Ὀρθοδόξων, πίστιν ὡμολόγησας, ἥν καί στεῤέωσον.

Ὁ ἁγίοις ἀγῶσι, καταβαλών φρύαγμα, Ἄγαρ δυσσεβοῦς καί τυράννου, Δῆμε πανένδοξε, τούς ἐκ πιστῶν ζηλωτάς, τό τῶν αἱρέσεων μέγα, φρύαγμα ἐκδίδαξον, ἵνα αἰσχύνωσι.

Θεοτοκίον.

Νεομάρτυρος Δήμου, τῇ σταθερᾷ Δέσποινα, πίστει ὁμοιάσωμεν πάντες, ἵνα δοξάζηται, τοῦ Σοῦ Υἱοῦ καί Θεοῦ, ἡ Ἐκκλησία Παρθένε, πόθῳ ἐξαιτούμενοι, τάς μεσιτείας Σου.

Διάσωσον, ἀπό κινδύνων ἱκέτας σου Ἀθλοφόρε· προθυμότατα γάρ διά Χριστόν ἐμαρτύρησας, καί ἔτυχες τοῦ χαρίσματος τῶν θαυμάτων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Γενναίως Χριστόν τυράννῳ ὡμολόγησας, καί θείαν ἡμῶν, τήν πίστιν διεκήρυξας· διό χάριν εἴληφας, πολλῶν ἰαμάτων καί θαύματα, ἐπιτελεῖς τοῖς πίστει ἀκλινεῖ, αἰτοῦσι ὦ Δῆμε τάς πρεσβείας σου.

ᾨδή δ'. Εἰσακήκοα Κύριε.

Ὀχληράν καί ἐπώδυνον, πυρετοῦ τήν φλόγωσιν Δῆμε ἴασαι· ἀσθενῶ γάρ καί προστρέχω σοι, ὥσπερ οἱ πιστοί τό πάλαι τάφῳ σου.

Μαρτυρίου σου ἕνεκεν, ἐξουσίαν κέκτησαι ὦ πανεύφημε, ἀπελαύνειν τῶν αἰτούντων σε, πᾶσαν νόσον ἄλγος τε καί ζόφωσιν.

Ὥσπερ ῥόδον σά λείψανα, εὐωδίαν ἔβλυζον καί ἰάματα, τοῖς πιστοῖς σου Δῆμε κράτιστε· ὅθεν καί ἡμῶν τά πάθη ἴασαι.

Θεοτοκίον.

Νοημάτων ἀπάλλαξον, πονηρῶν τοῦ πλάνου Μαρία Δέσποινα, καί τόν νοῦν ἡμῶν Σύ φώτισον, ὥστε λογισμῶν καλῶν ἐφίεσθαι.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Ὕλαγμα ἐχθροῦ, οὐκ ἐπτόησέν σε Ἅγιε, καί τμηθείς τήν κεφαλήν διά Χριστόν, πρός τήν θείαν κατασκήνωσιν ἀνέδραμες.

Μέμνησο ἡμῶν, τῶν τιμώντων τήν εἰκόνα σου, καί τελούντων σου τήν μνήμην εὐλαβῶς, Δῆμε Μάρτυς τοῦ Κυρίου θεοδόξαστε.

Ὄμμα γυναικός, ὡς ἐν Σμύρνῃ ἐθεράπευσας, οὕτω νῦν καί τῶν πασχόντων ὀφθαλμούς, διά θαύματος ταχέως Δῆμε ἴασαι.

Θεοτοκίον.

Νέκρωσον ὁρμάς, τῆς σαρκός Ἁγνή Μητρόθεε, καί φυγάδευσον νοήματα αἰσχρά, πρός ἐνάρετον ζωήν καθοδηγοῦσά με.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Συντήρησον, τούς πρός σέ προστρέχοντας, ἀπημάντους ἁμαρτίας καί πλάνης, Δῆμε κλεινέ τῶν Σμυρναίων ἡ δόξα, καί μετανοίας πρός τρίβον

ὁδήγησον, ἵνα τῇ σῇ ἐπισκοπῇ, αἰωνίου ζωῆς ἐπιτύχωμεν.

Ὀργῆς θυμοῦ, καί τοῦ φθόνου ἅπαντας, ἀποκάθαρον ὦ Δῆμε ταχέως· δύναμιν δός καί ἡμῖν δυσωποῦμεν, ὅπως ἐν φόβῳ Κυρίου διάγωμεν· ὅθεν πολέμου λογισμῶν, τούς σούς δούλους θεόφρον ἀπάλλαξον.

Ἱκάνωσον, τό σόν τέκνον Ἅγιε, προσκυνῆσαι μαρτυρίου σου τόπον, καί ἱερῶν τῶν λειψάνων σου θήκην, ἀναδιδόντων πανόσιον ἄρωμα, ἀξίωσον τοῦ ἀνευρεῖν, καί τιμᾶν ἐτησίως τήν μνήμην σου.

Θεοτοκίον.

Φιλόστοργον, Σέ μητέρα ἔχομεν, Ἐκκλησίας τό ἀτίμητον στέμμα, Ἁγνή Παρθένε καί Μῆτερ Κυρίου· ὅθεν ὡς τέκνα πρός Σέ προσπτυσσόμεθα· βοήθησον καί νῦν ἡμῖν, Παραδείσου τρυφῆς ὅπως τύχωμεν.

Διάσωσον, ἀπό κινδύνων ἱκέτας σου Ἀθλοφόρε· προθυμότατα γάρ διά Χριστόν ἐμαρτύρησας, καί ἔτυχες τοῦ χαρίσματος τῶν θαυμάτων.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον. Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Ἀθλητής ἀήττητος, Χριστοῦ ἐδείχθης, ἐν ὑστέροις ἔτεσι, ὡς ἐναθλήσας καρτερῶς, Δῆμε Μαρτύρων ἰσότιμε, μεθ' ὧν δυσώπει, ὑπέρ τῶν τιμώντων σε.

Προκείμενον. *Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 – στ΄ 2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καί νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Μέγα ἰατήριον, τοῖς ἀσθενέσι κατέστης, καί πηγή ἀκένωτος, βρύουσα ἰάσεων, πᾶσιν ὕδατα· Δῆμε μακάριε, Μάρτυς τοῦ Ὑψίστου, οἱ πιστοί σε μακαρίζομεν, καί ἐξαιτούμεθα, σοῦ τήν ἀρωγήν καί τήν φρούρησιν· τοῦ σώματος τήν πύρωσιν, δρόσῳ τῆς θερμῆς προστασίας σου, τάχιστα σβεννύεις, ἥν χάριν ἐξαιρέτως ὁ Χριστός, σοί ἐχαρίσατο δώρημα, ἐπί τῇ ἀθλήσει σου.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὑποστήριξον Δῆμε, ἰχθυβόλων τήν τάξιν, ἧς ἐπιτήδευμα, ἐξήσκησας ἐν Σμύρνῃ, καί πλήρωσον ἰχθύων, ἁλιέων τά δίκτυα, καί τάς οἰκίας αὐτῶν, εὐλόγησον ὡς Μάρτυς.

Λιθολόγοις καί ῥάπταις, πωληταῖς ἀχθοφόροις, καί τέχνας ἔχουσι, καί τοῖς ἐργοπαρέκτοις, ἀφθόνως βοηθῆσαι, μάρτυς Δῆμε κατάσπευσον, καί τήν ὑγείαν αὐτῶν, συντήρησον ἐν ῥώσει.

Ἀπό πάσης ἀνάγκης, τῶν κλυδώνων τοῦ βίου, καί περιστάσεως, ἐκλύτρωσον σούς δούλους, καί δός τά πρός τόν βίον, ἀποροῦσι καί πένησι, ἵνα τιμᾶται ἐν σοί, τό ὄνομα Κυρίου.

Θεοτοκίον.

Τεῖχος ἄρρηκτον οὖσα, Θεονύμφευτε Κόρη, Μαρία Δέσποινα, εὐλόγησον Σά τέκνα, καί πλήρωσον ἀγάπης, προσευχῆς καί ἀσκήσεως, ὅπως Κυρίῳ Χριστῷ, ἀρέσοιμεν ἐν Κρίσει.

### Ὠδή η΄. Τόν Βασιλέα.

Τῆς μετανοίας, τήν πύλην ἄνοιξον Δῆμε, καί καθήλωσον τῷ φόβῳ τοῦ Κυρίου, τούς ἀσπαζομένους, τήν ἱεράν μορφήν σου.

Ἔργοις καί λόγοις, εὐαρεστεῖν τῷ Δεσπότῃ καταξίωσον ἡμᾶς παρακαλοῦμεν, καί τῆς σωτηρίας, ὑπόδειξον τάς τρίβους.

Μνησικακίας, καί ἐμπαθείας μου Δῆμε, ἀποκάθαρον τόν δοῦλόν σου αἰτοῦμαι, καί τάς ῥυπτικάς σου, πρεσβείας δώρησόν μοι.

Θεοτοκίον.

Ἀδιαλείπτως, τήν προσευχήν πρός Υἱόν Σου, ὅπως ἔχοιμεν βοήθησον Παρθένε, τούς ὑπερυψοῦντας, τόν ἄφραστόν Σου Τόκον.

### Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ῥανίσι αἵματός σου, ἴασαι τά πάθη, τοῦ ὁμωνύμου σοι Δῆμε μακάριε, τῇ στοργικῇ σου ἀγκάλῃ, ὡς τέκνου σπεύδοντος.

Τούς σέβοντας σήν μνήμην, καί ὁμωνυμοῦντας, μαρτυρικοῖς σου τοῖς ῥείθροις διάσωσον, ὑπέρ αὐτῶν τῷ Κυρίῳ, πρεσβεύων Ἅγιε.

Ὑψίστῳ ἱερεῖον, πάνσεπτον ἠνέχθης, καί τοῦ Παντάνακτος Μάρτυς μακάριε, λελαμπρυσμένος ἐπώφθης, νῦν ἀγαλλόμενος.

Θεοτοκίον.

Γιγνώσκομέν Σε Κόρη, ἀρχήν τῆς σωτηρίας, ὡς τόν Σωτῆρα τοῦ κόσμου γεννήσασα, καί ἐξ ἁγνῶν Σου αἱμάτων, σάρκα φορήσαντα.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Σμυρναίων ὁ θησαυρός, ὁ Χριστόν δοξάσας, διά τμήσεως κεφαλῆς· χαίροις τῷ Δεσπότῃ, προσενεχθείς ὡς δῶρον, ἐν τοῖς ἐσχάτοις χρόνοις, Δῆμε μακάριε.

Δεῦτε, οἱ ὁμώνυμοι Ἀθλητῇ, τόν κοινόν προστάτην, ἀνυμνήσωμεν ἐν χαρᾷ, τῇ αὐτοῦ εἰκόνι, προσπίπτοντες βαθέως, λαμβάνοντες τήν χάριν, τῆς παρακλήσεως.

Δέχου τάς δεήσεις καί τάς φωνάς, τῶν ἐν κατανύξει, ἐξυμνούντων σου τά λαμπρά, ἆθλα καί θυσίαν, ἥν ἤνεγκας Κυρίῳ, λαβών τῶν ἰαμάτων, τό μέγα χάρισμα.

Ἕτερον. Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Χαίροις Ἀθλοφόρε τοῦ Ἰησοῦ, Δῆμε Νεομάρτυς, ὁ τοῖς δήμοις τῶν Ἀθλητῶν, καί κλεινῶν Μαρτύρων,

ἀπαύστως συγχορεύων, μεθ’ ὧν ἡμῖν ἐξαίτει, τό θεῖον ἔλεος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες είς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων

τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννίτου.

Ὅτε παῤῥησίᾳ εὐσεβεῖ, τοῦ Χριστοῦ τήν κλῆσιν τήν θείαν, Δῆμε ἐκήρυξας, τότε τό ἀντίπαλον, θράσος κατῄσχυνας, τῶν ἀπίστων καί ἤνεγκας, πληγάς καί στρεβλώσεις, καί είρκτήν καί θάνατον ἀγαλλιώμενος· ὅθεν ἀνελήλυθας Μάρτυς, πρός τάς ἀθανάτους σκηνώσεις, δήμοις Ἀθλοφόρων ἀριθμούμενος.

Ἕτερον τοῦ αὐτοῦ.

Χαίροις Νεομάρτυς τοῦ Χριστοῦ, Δῆμε στρατιῶτα Κυρίου, ἀξιοθαύμαστε· σύ γάρ οὐκ ἐπτόησαι, ἐχθρῶν τήν δύναμιν, ἀλλ’ ἀνδρείως διήνυσας, τόν θεῖον ἀγῶνα, καί θαυμάτων ἔλαβες θεόθεν δύναμιν· παύεις πυρετῶν τάς φλογώσεις, καί παθῶν καί πόνων λυτροῦσαι, καί τό πηρωθέν ὄμμα ἰάτρευσας.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε. Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννίτου.

Χριστόν ὡμολόγησας, ἐπί ἀπίστων στεῤῥῶς, καί πάσας κατῄσχυνας, τάς τῶν ἀνόμων βουλάς, ἰσχῢι τῆς πίστεως· ὅθεν ταῖς τῶν Μαρτύρων, ἠριθμήθης

χορείαις, Δῆμε νέε ὁπλῖτα, ὡς ἀθλήσας νομίμως, μεθ’ ὧν ἀπαύστως πρέσβευε, ὑπέρ τῶν τιμώντων σε.

Δίστιχον.

*Ἀθλοφόρε στίχους Γεωργίου δέχου,*
*δωρουμένους Δήμῳ ἐκλεκτῷ σου τέκνῳ.*

